ἄρα καὶ ἡ ἀνθρώπου ψυχή, εἰ διηνεκοῦς διανοήσεως ἐστὶν ἄμοιρος, οὐδ᾽ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β, οὐδὲ γοῦν ἀπὸ τοῦ Β ἐπὶ τὸ Α, ἐκ διαλειμμάτων χρόνου μεταβαίνειν δυνήσεται. Εἰ δὲ τὸ ἕτερον ἐστὶν, ἢ σώματος ἀντιθέσει τελεῖται τοῦτο, ἢ Θεοῦ ἐνεργείᾳ, ἢ ἑτέρου τινός. Ἀλλὰ σώματος μὲν οὐδαμῶς. Ἐπειδὴ γὰρ ἡ ψυχὴ ἀσώματος (Πρ. ΙΒ΄.), ἡ τοῦ σώματος αὐτῇ ἐπενέργησις πάντῃ ἀπερινόητος. Ἀλλὰ σώματος παντὸς ἐνέργεια ἐν κινήσει ἤτοι θέσεως, καὶ σχήματος, καὶ τόπου μεταβολῇ ἔχει λαβοῦσα τὸ εἶναι, τὰ δὲ τοιαῦτα τῇ ψυχῇ οὐκ ἐπισυμβαίνει (διὰ τὰ ἄνωτ.), ἀπὸ ἄρα τοῦ σώματος ἡ ψυχὴ οὐκ ἂν πρὸς νόησιν ἐγερθείη. Ἐπειδὴ τοίνυν οὐδεμία ἐστὶν ὅλως τοῦ σώματος ἐπὶ τῆς ψυχῆς φυσικὴ ἐπενέργησις, ἑπόμενόν ἐστι διὰ σωματικῆς ἐπιθέσεως ἐκείνην οὐδὲ πρὸς τὸ νοεῖν ἄγεσθαι ἀνοητοῦσαν, οὐδ᾽ ἀπὸ τοῦ νοεῖν παύεσθαι. Αὐτὸ δὴ τοῦτο ῥητέον καὶ περὶ ἄλλης οἱασοῦν σωματικῆς αἰτίας. Λείπεται τοίνυν θείᾳ μόνῃ βουλήσει τε καὶ ἰσχύϊ τουτὶ τελεῖσθαι λέγειν. Ἀλλὰ λόγος οὐδεὶς ὥσπερ ὑπὲρ ἡμῶν, οὕτως οὐδὲ καθ᾽ ἡμῶν περὶ τούτου ὕπεστι.

## Σχόλιον.

Μέγα ἐν τοῖς καθ᾽ ἡμᾶς φιλοσοφοῦσι περὶ τοῦ ἀδιαλείπτου τῶν ψυχικῶν διανοήσεων ἀνέφυ τὸ νεῖκος. Καὶ γὰρ ὁ Καρτέσιος οὐσίαν ψυχῆς τὴν κατ᾽ ἐνέργειαν διανόησιν ταξάμενος, ἐν τῷ ἀδιαλείπτως νοεῖν ἐκείνης τὸ ζῆν ἔθετο. Ἀπόφησιν Ἀκυνάτης (1) τὸν ἀνθρώπου νοῦν ἀεί ποτε ἐνεργείᾳ ἔχειν, τοῦ ἀπείρου νοῦ τὸ τοιοῦτον εἶναι ὑποτιθέμενος. Ἐπεὶ δὲ ὁ αὐτὸς μηδὲν ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ, εἰμὴ διὰ τοῦ ἐνεργείᾳ ὄντος ἀνακληθῆναι δύνασθαι εἰσηγεῖτο (2), ἐπὶ τὸν ἐνεργητικὸν νοῦν δεῖν ᾤετο καταφυγεῖν. Ἀλλ᾽ εἰ μὴ οὗτος ὁ νοῦς ἀεὶ ἐνεργείᾳ ᾖ τυγχάνων, ἐπάναγκές ἐστι καὶ ἕτερον παραλαβεῖν, καὶ ἑξῆς ἄλλον ἐπ᾽ ἄπειρον. Ἔγνω δὴ τὸ ἑπόμενον ἄτοπον Ἀριστοτέλης· διὸ καὶ τὸν ἐνεργητικὸν νοῦν ποτὲ μὲν ἐνεργείᾳ, ποτὲ δὲ δυνάμει ἔχειν ἠρνήσατο, καὶ τούτου οὐσίαν, ἣ κατ᾽ ἐνέργειαν ἐστὶν ὄν, ὡρίσατο (3). Εἰ γοῦν μηδαμῶς τῆς ψυχῆς ὁ κατ᾽ ἐνέργειαν νοῦς διακέκριται, ὃ καὶ τῷ Ἀκυνάτῃ δοκεῖ, εἰ μὴ προφανεῖ ἀντιφάσει περιπεσεῖν ἕλοιτο, ἀδιάλειπτον εἶναι τὴν τῆς ψυχῆς διανόησιν ὤφειλε καθομολογῆσαι.

---

(1) Συν. θεολ. μέρ. *Α.* ζητ. ΟΘ΄. ἄρθ. *Β΄.*

(2) Αὐτ. ἄρθ. *Γ.*

(3) Γ. περὶ ψυχ. ὑφη. *ΙΔ.*

Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τῷ Καρτεσίου δόγματι παρηκολουθηκότες εἰσὶ Κλαυβέργιος, Μαλεβράγχιος, Ῥήγιος, ϗ οἱ περὶ αὐτὸν ἅπαντες, ἔτι δὲ Λεϊβνίτιος, ϗ Οὔόλφιος. Ἀντηνέχθησαν δὲ οἱ Περιπατητικοὶ, ϗ Λώκιος (1), ὃς ϗ τὰ ἐφεξῆς ἐνίσταται. Α'. Ὅτι οὐδενὸς τῶν ἐν βαθυτάτῳ ὕπνῳ νενοημένων ἐπιμιμνησκόμεθα. Β'. ὅτι ὁ νοῶν ἐγρήγορεν, ἐξ οὗ ϗ τὸ ἀγρυπνεῖν συμβαίνει τοῖς ἀπαύστως φροντίσι συνεχομένοις. Γ'. ὅτι ἦμεν ἂν ἄλλοι ἐγρηγορότες, ϗ ἄλλοι καθεύδοντες· ἡ γὰρ ταυτότης τοῦ προσώπου ἐκ τῆς ταυτότητος ἤρτηται τῶν κατὰ τὰς νοήσεις συνειδήσεων· οὐδεὶς δὲ ἡμῶν ἐγρηγορὼς ἑαυτῷ σύνοιδεν, ὅτι νοῶν ἐτύγχανε τὰ ἐν τοῖς ὕπνοις. Πρὸς μὲν οὖν τὸ Α'. ἀπήντηκε Μαλεβράγχιος, τὴν λήθην φήσας τῶν ἐν τοῖς ὕπνοις διανοήσεων ἀπὸ τῆς νάρκης τῶν τε ζωτικῶν πνευμάτων, ϗ τῶν ἰνῶν, ὧν ἴχνος οὐδὲν τῷ ἐγκεφάλῳ ἐγκαταλείπεται. Ὁ δὲ Οὔόλφιος τοῦτο συμβαίνειν, φησὶν, ὅτι συγκεχυμέναι καὶ ἀσαφεῖς αἱ νοήσεις, αἱ τηνικαῦτα ἐνεγειρόμεναι (2). Ἀλλὰ μὴ ἀληθές ἐστιν ἡμᾶς μηδενὸς τῶν ἐν ὕπνοις παρισταμένων τῇ διανοίᾳ ἀναμιμνήσκεσθαι; Πρὸς δὲ τὸ Β'. ἀπαντητέον πρὸς Λώκιον, οὐδ' ἐκεῖνο ἀληθὲς εἶναι, μὴ ἐξεῖναι κατὰ τὸ αὐτὸ νοεῖν καθεύδοντα. Οὐχ ἅπαξ γὰρ γεωμετρῶν ἦν κατὰ τοὺς ὕπνους ὁ τούτοις τὸν νοῦν ἀφοσιώσας τοῖς θεωρήμασι, ϗ συστήματα ἀφῃρημένα ἀνασκεπτόμενος ὁ μεταφυσικαῖς χαίρων μελέταις, ϗ ἄλλος ἄλλα κατὰ νοῦν ἀνελίττων. Οὐδὲ γὰρ οὐδ' ἐκ τῆς τοῦ νοεῖν ἀργείας ἡμῖν ὕπνοι ἐπισυμβαίνουσιν, ἀλλὰ τῶν ἐγκεφάλου ἰνῶν νάρκῃ τινὶ κατεχομένων, ϗ τῆς τοῦ αἵματος κυκλοφορίας βραδυτέρας καθισταμένης. Εἰ δέ ποτε ϗ ἐν αὐτῷ ὕπνῳ, καίτοι βαθυτάτῳ, σφοδρότερον ἐκταράξῃ ἐμπεσόντα τῷ ἐγκεφάλῳ μετὰ ῥύμης τὰ πνεύματα, αὐτίκα μάλα ἐξεγείρεται ὁ ὑπνῶν. Πρὸς δὲ τὸ Γ'. ἐν ταυτότητι τῆς συνειδήσεως ὑφίστασθαι τὸ πρόσωπον λέγειν, καὶ τὴν τῶν προσώπων διαφορὰν ἐκ τῆς τῶν συνειδήσεων ἑτερότητος, ὅμοιόν ἐστι ϗ φρονεῖν τὸν ἐπὶ σκηνῆς τόν τε Ἑρμῆν ϗ τὸν Σωσίαν ὑποκρινόμενον, κατ' αὐτὸ ἑαυτοῦ εἶναι ἕτερον. Εἰ γὰρ ἄτομον λογικὸν τὸ πρόσωπον, ὡς πάντες ὁρίζουσι, τί μὴ κατά τε ὕπνους ϗ ἐγρηγόρσεις νοοῦσα ἡ ψυχὴ, εἰ ἄτομον τὸ αὐτὸ τυγχάνει ϗ λογικὸν, τὸ αὐτὸ οὐ ῥηθήσεται πρόσωπον;

Οἷς δέ τινες διαπυνθάνονται, περὶ τίνων ἅμα ἐν ἀρχῇ ἡ ψυχὴ συναφ-

(1) Βιβλ. Β'. περὶ νοῦ Κεφ. Η'.

(2) Ὅρα τὰ ἐφ' ἑκατέρας τῆς ψυχολ. αὐτῷ περὶ τούτου φιλοσοφούμενα.

Ε.Υ.Δ της Ε.Π. ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

θεῖσα τῷ σώματι διασκέπτεται, καὶ πόθεν αὐτῇ αἱ ἰδέαι, ἀμόρφῳ πάντῃ οὔσῃ, κατὰ τὸ μὴ γεγραμμένον, Ἀριστοτελικῶς φᾶναι, ἀβάκιον; Ψυχρὰ φαμὲν ἡ πεῦσις καὶ ἄλογος· μὴ γὰρ ὁ εἰδὼς ὅτι ἀδιαλείπτως νοεῖ ἡ ψυχὴ, κατ' αὐτὸ ὀφείλει εἰδέναι, καὶ τίνα ἐστὶν ἃ νοεῖ; ἢ γοῦν τούτῳ ἀγνοουμένῳ κἀκεῖνο συνηγνόηται; Ἐκ τῆς μετὰ τοῦ σώματος συναφείας αὐτίκα ὕλην ἄφθονον τῇ ψυχῇ νοήσεων ὑποβάλλεσθαι δόξης ἔσχεν (1) ὁ Ῥήγιος. Τῷ ὄντι δὲ οὐ πάντῃ ἀπίθανον τὸ λεγόμενον.

## Πρότ. ΙΔ΄.

„Οὐδὲ φύσει τῇ ἰδίᾳ, οὐδὲ τῇ παρὰ τῶν ἔξω σωμάτων ἐνεργείᾳ ἡ ψυ„χὴ ὄλλυται.

## Δεῖξις.

Ἡ ψυχὴ ἐστὶν οὐσία ἀσώματος (Πρ. ΙΒ΄.), καὶ ταύτης τὰ οὐσιώδη ἴδια ἕτερα τῶν τοῦ σώματος (αὐτ. Πόρ.). Οὐκ ἄρα διαιρεθῆναι ἔχει, οὐδ' εἰς μέρη διασπασθῆναι, οὐδὲ φύσει τῇ ἰδίᾳ, οὐδὲ τῇ παρὰ τῶν ἔξω σωμάτων ἐνεργείᾳ. Τὸ γὰρ ἀσώματον ὑπὸ τῶν σωμάτων πάθος ὑφίσταται οὐδέν· τό, τε τοιοῦτον, εἰ φύσει ζωῆς ευμοιρεῖ, καὶ ἀθάνατον. Ἄρα ἡ ἀνθρώπου ψυχὴ ἀσώματός τε οὖσα καὶ ζῶσα, ἀνόλεθρός ἐστι καὶ ἀθάνατος.

## Σχόλιον.

Πλάτων ἐν τοῖς διαλόγοις, τῷ μὲν ἐπιγραφομένῳ Φαίδωνι, τῷ δὲ Φαίδρῳ, διὰ πλειόνων τὸ ἀσώματον τῆς ψυχῆς καὶ ἀθάνατον ἀποδείκνυσι. Α΄. Τὸ κελεῦον, φησὶ, τοῦ κελευομένου, καὶ τὸ χρώμενον, τοῦ ᾧ χρῆται, ἕτερον. Ἔστι δὲ τὸ ἐν ἡμῖν πειθαρχοῦν τὸ σῶμα, τὸ δὲ ᾧ πειθαρχεῖ ὁ λόγος. Ἄρα κτλ. Β΄. Πᾶν τὸ κινούμενον σῶμα· τὸ δὲ κινοῦν ἀσώματον, ὃ καὶ Ἀριστοτέλει δοκεῖ, καὶ τοῖς ἐπισημοτέροις τῶν φιλοσόφων. Κινήσεως δὲ καὶ ἐνεργείας ἁπάσης ἡ ψυχὴ τῷ σώματι τυγχάνει παραίτιος. Ἀσώματος ἄρα. Εἰ δὲ καὶ Πλάτων αὐτὸς ἐν Τιμαίῳ βουλήσει τοῦ ὑπερτάτου δημιουργοῦ, οὐ φύσει δὲ ἀθανάτους εἰσηγήσατο τὰς ψυχὰς, ἐφ' ὃ καὶ πολλοὺς τῶν πατέρων προσελκύσας φαίνεται, χάριτι μὲν, οὐ φύσει δὲ ἀθανάτους εἶναι διδάσκοντας, ἀλλ' ἐκεῖνο δήπου οὐδὲ φιλοσόφου τοσούτου, οὐδὲ τηλικούτων ἀκολούθων δόγμα ἐπάξιον. Τί γὰρ ἡ φύσις; ἢ στεῤῥά τε καὶ ἀμετάθετος τοῦ Θεοῦ βούλησις, ἡ τῶν ὄντων δημιουργός τε καὶ συνοχεὺς ἀρίστη; Εἰ γοῦν τοῦτο, τὰ Θεοῦ βουλήσει ἀθάνατα; Ταῦτα δήπου καὶ φύσει τυγχάνει ἀ-

(1) Περὶ χρήσεως τοῦ λόγου καὶ τῆς πίστ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

θάνατα. Εἰ δέ γε φύσις τεθῇ τὸ ἄθροισμα τῶν ἐν τοῖς οὖσι δυνάμεων, ἣν φύσιν οἱ Σχολαστικοὶ φυομένην προσεῖπον, διαιρέσει καὶ τούτῳ χρηστέον. Καὶ γὰρ καὶ αἷς ἔχει δυνάμεσιν ἡ ψυχὴ ἀνώλεθρος, μᾶλλον δὲ καὶ ἅπαντα· οὐδὲν γὰρ οἰκείᾳ δυνάμει εἰς φθορὰν ἄγεται, τοὐναντίον δὲ καὶ διασώζεται. Πότερον δὲ ἐκ παθήσεως, ἤτοι τῇ τῶν ἐκτὸς ἐνεργείᾳ, ἡ ψυχὴ ὄλλυσθαι πέφυκε; Τοῦτο ἐστὶν ὃ ζητεῖν πρόκειται, οὗ καὶ τοὐναντίον ἡμῖν κατεσκεύασται.

Οἱ δὲ πατέρες λόγῳ τῷ ἐκ τῆς προνοίας τὸ ἀθάνατον τῆς ψυχῆς κατασκευάζειν εἰώθεσαν. Πολλῶν γὰρ, καίτοι χρηστῶν ὄντων, ἐν τῷ τῇδε βίῳ δεινοῖς ἀφορήτοις διηνεκῶς περιτρυχομένων, πολλῶν δὲ φαύλων τοὐναντίον ἀγαθοῖς ἀφθόνοις περιρρεομένων, εἰ μηδεὶς ἐστὶν ἕτερος μετὰ τοῦτον βίος, ἐν ᾧ τῆς μὲν ἀμύθητα τὰ ἀγαθὰ ἀρετῆς γέρας εἰκότως ἀπόκειται, τοὺς δὲ ἐνδίκως περιμένει τὰ ἀντάξια κολαστήρια, οὐδενὸς δήπου λόγου τὰ τῇδε τὸ θεῖον τίθησι, καὶ οὐδεμία τῶν ἐν κόσμῳ ὑπολειφθήσεται πρόνοια, ὃ λέγειν ἀθέμιτον οὐχ ἧττον, ἢ ἄλογον (1).

Ὁ δὲ τοῦ Ἀκυνάτου λόγος, τὸ νοεῖν μὴ εἶναι ἐνέργειαν σωματικὴν προκατασκευάσας, ἐκ τούτου τὸ ἀσώματον τῇ ψυχῇ ἀποδίδωσιν (2). Ἀμέλει τοι γὰρ τοῦ σώματος ἴδιον τὸ ὑπὸ ἄλλου κινεῖσθαι, τοιγαροῦν ἡ ἀρχὴ τῶν ἐν τῷ σώματι κινήσεων σῶμα οὐκ ἔστι· τοιαύτη δὲ ἡ ψυχή. Τῷ δὲ λόγῳ τούτῳ καὶ Πλάτων, καὶ Ἀριστοτέλης ἐχρήσατο, καὶ πολλοὶ τῶν ἀρχαιοτέρων. „Εἶτα ἅπαν σῶμα, φη„σὶ (3), διαιρετὸν, ἅπαν δὲ διαιρετὸν χρῄζει τοῦ συνέχοντος, καὶ τούτου τὰ μέρη „ἑνοῦντος. Εἰ τοίνυν ἡ ψυχὴ σῶμα, δεήσεται δήπου καὶ αὐτὴ ἄλλου τινὸς τοῦ „συνέχοντος, καὶ τοῦτο μᾶλλον ψυχὴ, ἢ ἐκεῖνο. Τῆς γὰρ ψυχῆς ἀπελθούσης, „τὸ σῶμα ὁρῶμεν διαλυόμενον. Ἢν δὲ καὶ αὐτὴ διαιρετὴ εἴη, δέον ἐπί τι ἀδιαί„ρετον ἀφικέσθαι, ὅπερ ἂν εἴη ἀσώματον, καὶ ψυχὴ εἰκότως τουτὶ νομισθήσεται. „Εἰ μὴ γὰρ, ἐπ' ἄπειρον χωρήσομεν, ὅπερ ἀδύνατον. Οὐκ ἄρα ἡ ψυχὴ σῶ„μα.“ Καὶ οὕτω μὲν ἐκεῖνος τῶν ψυχῶν τὸ ἀσώματον ἀποδείκνυσι, τὸ δὲ ἀθάνατον ὡς ἐφεξῆς (4). Α'. φθορᾷ ὑπόκειται τὸ σύνθετον. Αἱ δὲ νοεραὶ οὐσίαι ἁπλαῖ τυγχάνουσιν· ἄρα καὶ φθορᾶς κρείττονες. Β'. ἐπὶ τῶν ἁπλῶν ὄντων ζωὴ, καὶ οὐσία, καὶ ὕπαρξις ἓν καὶ ταυτόν ἐστι· τὰ δὲ τοιαῦτα μόνῃ ἐξοντώσει, οὐχὶ

(1) Ὅρα Χρυσ. ὁμιλ. Δ. περὶ προνοίας.

(2) Κατὰ ἐθν. Βιβλ. Η. Κεφ. ΞΕ'.

(3) Αὐτ. §. γ'.

(4) Αὐτ. Κεφ. ΝΕ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ διαφθορᾷ ὄλλυσθαι πέφυκεν. Εἰ γὰρ φθορᾷ τεθῇ ὑποκείμενα, ὑπολειφθήσεται δή τι τούτων, ἐν ᾧ διαφθείρεται. Ἔστι δὲ ἁπλᾶ, καὶ τούτων οὐδὲν ὅτι μὴ αὐτὸ τὸ εἶναι ἔχει ὑπολειφθῆναι. Ἡ δὲ εἰς τὸ μὴ ὂν ἐξόντωσις οὐδενὸς τελεῖται ταῖς φυσικαῖς δυνάμεσι. Ταῖς ἄρα φυσικαῖς δυνάμεσιν αἱ νοεραὶ οὐσίαι οὐκ ὄλλυνται. Ἐκτόπως ἦν ἐφηδόμενος τῷ ἐπιχειρήματι τούτῳ Οὐόλφιος. Γ'. οὐδὲν φύσει διαφθείρεται, ἀλλ' ἢ κατὰ πάθησιν, ἤτοι τῇ παρὰ τῶν ἐκτὸς ἐπ' αὐτὸ ἐνεργείᾳ. Ἡ δὲ νοητὴ φύσις οὐδὲν ἂν ὑποδεχθείη ἀπὸ τοῦ σώματος, τοῦ αὐτῆς τῇ φύσει ἀντικειμένου· οὐδὲ γὰρ τὸ ἐκ τοῦ σώματος σωματικὸν μεταβαίνει πέφυκεν ἐπὶ τὸ ἀσώματον. Οὐκ ἄρα κατὰ πάθησιν ὄλλυσθαι ἡ ψυχὴ, νοερὰ τυγχάνουσα, φύσιν ἔχει. Δ'. αἱ ἐνοῦσαι φύσει τοῖς οὖσιν ἐφέσεις οὐκ ἂν εἰς κενὸν εἶεν· οὐδὲν γὰρ οὔθ' ὁ Θεὸς, οὔθ' ἡ φύσις μάτην ἐργάζονται. Ἡ δὲ τῆς μακαριότητος ἔφεσις ψυχαῖς ἁπάσαις ἔμφυτος ἔνεστιν· ἀφορᾷ δὲ αὕτη τὸ ἐς ἀεὶ εἶναι, ὡς δῆλον· τὰ ἄρα οὕτως ἐφέσεως ἔχοντα καὶ ἀΐδια.

Ἄξιον δ' ἐνταῦθα καὶ τὰ Καρτεσίου ὑποθέσθαι, οἷς κρατῦναι τὸ περὶ ἀθανασίας ψυχῆς δόγμα ἐπείγεται (1). „Ἐπειδή φησὶν οἶδα, ὡς ἅπερ ἐναργῶς τε καὶ διακεκριμένως κατανοῶ, τοιαῦτα ὑπὸ Θεοῦ ἔχει γενέσθαι, οἷα δὴ καὶ παρ' ἐμοῦ νοεῖται, ἅλις ἔχει εἰ θάτερον ἄνευ θατέρου ἐναργῶς τε καὶ διακεκριμένως νοῶ, ἵν' ἐκ τούτου ἀσφαλῶς ἔχω εἰδέναι, θατέρου θάτερον διαφέρειν." Νοῶ δὲ τὴν ψυχὴν ἐκτάσεως ἄμοιρον, ἤτοι ἀσώματον. Καὶ γάρ τοι Α'. καὶ μηδὲν ἔχειν με σῶμα ὑποτιθέμενος, νοῶ εἰσέτι καὶ νοοῦντι ἐμαυτῷ τοῦτο σύνοιδα. Β'. δὲ οὐδὲ μίαν ἐνεπινοοῦμεν τῇ νοήσει προσοῦσαν ἔκτασιν, οὐδ' ἔχω τὸ διανοήσεως ἥμισυ, ἢ τριτημόριον, ὅλως διανοίᾳ περιλαβεῖν. Ἡ ἄρα διανόησις, καὶ ἡ διανοοῦσα ψυχὴ φύσεως τυγχάνει οὖσα πάντῃ τῆς τοῦ σώματος διακεκριμένη καὶ διαφέρουσα. Ὁ γοῦν Μερσέννος ἐπὶ τῶν δευτέρων ἐνστάσεων ἀντιφερόμενος τῷ τοῦ Καρτεσίου λόγῳ, ὅτι μὲν, φησὶ διανοῶν τυγχάνεις, οἶδας, τί δ' ἄρα τοῦ„το εἴη τὸ διανοοῦν οὐκ οἶδας. Τί γὰρ, εἰ σῶμα τοῦτο ἐστὶ τὸ ποικίλαις κινήσεσι „τὴν διανόησιν ἀποκύον; Καί τοι γὰρ οἴει, ὡς ἅπασαν σεαυτοῦ ἀφεῖλες τὴν „ἔκτασιν, ἀλλ' ἔλαθες ἴσως σεαυτὸν μηδαμῶς ἀφελόμενος σῶμα τυγχάνον„τα. Τίνα γὰρ δὴ τρόπον δεικνύεις τὸ σῶμα νοεῖν μὴ δύνασθαι; μηδὲ ἐν κινήσει „κεῖσθαι σωματικὴν ἅπασαν διανόησιν;" Πρὸς ἃ ὁ Καρτέσιος, "ἀρκεῖ, φησὶν, „ὅτι θάτερον νοεῖν ἐστὶ τοῦ ἑτέρου χωρίς· τὰ γὰρ τοιαῦτα πράγματι διακρίνεται."

(1) Μελ. ϛ'. περὶ Ἀρχ. φιλοσ.

„Εἰ μὴ γὰρ, δότε, φησὶ, τῆς πραγματιώδους διαιρέσεως τεκμήριον ἀσφαλέ-
„στερον· ἀλλ' οὐκ ἂν ἔχοιτε.“ Ἀλλ' ὅτι μὲν διανόησίς τε καὶ ἔκτασις ἀλλήλων
πράγματι διακέκριται, ὅ φησιν ὁ Καρτέσιος, τίς οὐ συνίησιν; ὤφειλε δὲ πε-
ραιτέρω ἰέναι, καὶ δεῖξαι μηδ' ἐσωτερικῶς ἀλλήλων ἀπηρτῆσθαι ταύτας δὴ τὰς
ἐνεργείας, εἶναι δὲ καὶ ἐν ἑτέραις οὐσίαις ὑφισταμένας. Καὶ Ἀρνάλδος δὲ ἐπὶ τῶν
τετάρτων ἐνστάσεων τὸ ἀνωτέρω τοῦ Καρτεσίου ἐπιχείρημα ἐπὶ λεπτοῦ ἀποσι-
νιάζων, τὴν τοῦ συλλογισμοῦ, φησὶ, μείζονα ἐπὶ τῶν ὁλοσχερῶν τε καὶ συνεξι-
σημένων ἐννοιῶν μόνων προσαληθεύειν. „Εἴ τις γὰρ, ὡς ἐκεῖνος, μὴ πεπλη-
„ρωμένην τὴν σὴν εἶναι διανόησιν φήσειεν, ἐν ᾧ σαυτὸν νοεῖς, ὡς οὐσίαν δια-
„νοητικὴν ἄνευ ἐκτάσεως, ἢ γοῦν οὐσίαν ἐκτεταμένην ἄνευ διανοήσεως, τί
„ποτ' ἂν ἀπαντήσειας;“ Ὥσπερ τὸ σχῆμα εἶναι θεωρεῖν ἔχων, καὶ τῶν λοι-
πῶν ἄνευ παθημάτων τοῦ κύκλου, οὐκ ἂν ὑγιῶς ἐντεῦθεν πράγματι διακεκρί-
σθαι τοῦ κύκλου τὸ σχῆμα εἶναι εἰσβάλοιμι, οὕτωτοι καὶ τὸ νοεῖν ἐννοῶν τις καὶ
ἄνευ ἐκτάσεως, διακεκριμένας εἶναι τινὰς οὐσίας ταύτας οὐκ ἂν ὀρθῶς ἐκ τούτου
δικάσειεν. Ἀλλὰ Καρτέσιος καὶ πρὸς ταῦτα ἀπήντηκεν, ὡς εἰ τοῦτο ἦν, μόνον
ἂν ἄρα τὸ θεῖον τὰς διακρίσεις τῶν ὄντων ᾔδει, ὃς καὶ τούτων ἑκάστου πληρεστάτην
καὶ αὐτοτελῆ ἔχει περίνοιαν. “Καίτοι γὰρ, φησὶ, πολλὰ τυχὸν ἐμοὶ ἔνεστιν,
„οἷς οὔπω τὸν νοῦν προσέσχον, ἀλλ' ἐπεὶ τοῦτό γε, ᾧ προσέχω, ἀρκεῖ μοι καὶ
„μόνον αὐτὸ πρὸς ὑπόστασιν, ἐκ τούτου πέπεισμαι τὸν Θεὸν κἀκείνων χωρὶς,
„οἷς οὐ προσέχω, παραγαγεῖν δυνηθῆναι με, διὸ οὐδὲ οὐσιωδῶς τὰ τοιαῦτα τῇ
„ψυχῇ μου προσεῖναι φημί. Οὐδὲν γὰρ, ὧν ἄνευ ὑποστῆναι ἔχει, οὐσιώδη τυγ-
„χάνει τῷ πράγματι. Καίπερ δὲ οὐσιώδης ἐστὶν ἡ ψυχὴ τῷ ἀνθρώπῳ, οὐ
„μέντοι καὶ τῇ ψυχῇ οὐσιῶδες ἐστὶ τὸ ἀνθρωπίνῳ προσῆφθαι σώματι.

Τῶν ἐν τοῖς νεωτέροις Σχολαστικοῖς εἰσὶν οἱ πίστει μὲν μόνῃ θεολογοῦσι
τῆς ψυχῆς τὸ ἀθάνατον διαπρεσβεύεσθαι, οἷον δὴ δόγμα τι τῶν ὑπερφυεστέρων
καὶ ἀπερινοήτων, λόγῳ δὲ πάντῃ τῷ ἐκ τῶν φυσικῶν ἀρχῶν ἀναπόδεικτον. Τοιοῦ-
τοι Ἑνρῖκος, Σκότος, Καϊετάνος (1), καὶ Νικόλαος ὁ Περόττος (2), καὶ Ἰωάννης
Λώκιος (3). Ζῇ γὰρ, φασὶ, τὰ κτίσματα, ἐφ' ὅσον τούτοις τὸ ζῆν Θεὸς βού-
λεται. Ἐφ' ὅσον δ' ἂν τὴν ψυχὴν βούλοιτο ζῆν, εἰδέναι οὐκ ἔχομεν, εἰμὴ ἀ-

(1) *Παρὰ τῷ Κάνῳ ἐν τοῖς θεολογ. τόπ. Βιβλ. Β. Κεφ. ΙΔ.*
(2) *Παρὰ Βαιλ. ἐν λεξ. ἄρθ. Περότ.*
(3) *Γ'. ἀπάντ. ὑπὸ τοῦ Στιλιγ.*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποκαλυφθέντος ἡμῖν τοῦ θείου βουλήματος. Ἀλλὰ γὰρ ἡ θεία βούλησις, εἰ μὴ πληρέστατα, ἀλλ᾽ ἐν μέρει δήπου, οὐχ ὅπως ἀποκαλύψει, ἀλλὰ καὶ φύσει ἡμῖν δήλη καθίσταται. Καὶ γὰρ ἀποκάλυψίς τε, καὶ ὁ φυσικὸς λόγος δύο οἱονεὶ ἡμῖν τοῦ θείου φωτὸς ἐνίεται ἀπαυγάσματα, ὅτι καὶ ταῖς τῆς φύσεως φωναῖς καί γε ταῖς τῆς ἀποκαλύψεως ἀμφοτέραις τὸ θεῖον πρὸς ἡμᾶς ἀναφθέγγεται, καὶ τούτου δὲ ἕνεκα ὑποφῆται τῆς φύσεως οἱ φιλοσοφοῦντες τῷ Αὐγουστίνῳ (1) προσείρηνται. Τὸ τοίνυν κωλύον οὐδὲν, τοῦ καθάπερ πολλὰ τῶν Θεοῦ βουλημάτων ἐκ φύσεως χειραγωγούμενοι γινώσκομεν, οὕτωτοι ὀρθῶς εἰδέναι ἡμᾶς, τῷ φυσικῷ ἐλλαμπομένους φωτὶ, καὶ τῆς ψυχῆς τὸ ἀθάνατον.

Οἱ μὲν οὖν κατὰ τῆς ψυχῆς φερόμενοι, ἢ τὸ ἀσώματον ἅμα καὶ τὸ ἀθάνατον αὐτῆς ἀναφανδὸν ἀναιροῦσιν, ἢ οὕτως ἀποφαίνονται, ὡς ἀπαναινομένοις ἐοικέναι, ἢ τελευταῖον ἀγνοεῖν φασίν. Ἀλλ᾽ ἵνα πρὸς τοὺς τρίτους πρῶτον ἡμῖν ὁ λόγος τραπείη, εἰ καί τινες γένοιντο ἀγνοοῦντες τὸ εἴ τε λόγῳ ἀποδεικνύμενον, εἴτε καὶ ἀποκαλύψει ἀπὸ τῶν ἀρχαιοτέρων ὡς ἡμᾶς μετοχετευόμενον, οὐ παρὰ τοῦτο ἀκόλουθον ἂν εἴη μὴ τοῦτο γινώσκειν ὅλως, οὐδὲ αὐτοὺς τοὺς γινώσκοντας ὑπολαμβάνειν. Ἦ καὶ τὰ γεωμετρικῶς ἀποδεικνύμενα ἡμῖν ἀποφήσουσιν οἱ ἀγεωμέτρητοι, καὶ οἱ ἐν ἐρήμοις οἰκοῦντες καὶ ἀοικήτοις, μηδὲν περὶ τῶν προδηλοτάτων καὶ τῶν ἄλλως διαβεβοημένων ἀκούσαντες, ὡς ψευδῆ ἐλέγξουσι τὰ πρὸς αὐτοὺς μὴ διαφοιτήσαντα. Ὃ γὰρ φασιν ἠγνοῆσθαι πάντη παισὶν Ἑβραίων τὸ δόγμα, οὐκ ἀληθῶς λέγεται. Τί γὰρ ὅτι ἐπίσημος ἦν ἡ τῶν Σαδδουκαίων αἵρεσις τῶν λεγόντων μὴ εἶναι ἀνάστασιν; τί δὲ ὁ θεόσδοτος νόμος ὑπευθύνους βούλεται τοὺς τὰς ψυχὰς τῶν ἀπελθόντων βουλευομένους; πῶς δὲ καὶ Θεοῦ ἐμφυσήματι, μηδὲ ἐκ προϋποκειμένης ὕλης, ὥσπερ τὸ σῶμα τὴν ψυχὴν παραχθῆναι γέγραπται, ἐφ᾽ ᾧ τ᾽ ἄλλα παρῶ, ὧν θεολογικωτέρα ἐστὶν ἡ διάληψις; Εἰ γοῦν καὶ ἀνέκαθεν ἐκ παραδόσεως ἡμῶν ἄχρις ἐγένετο, καὶ λόγοις εὐσθενεστάτοις (ὡς ἐπὶ τῆς ΙΒʹ. καὶ ΙΔʹ. Προτ.) διαπιστοῦται τῆς ψυχῆς τὸ ἀσώματον καὶ ἀθάνατον, κουφότης ἄντικρυς ἐν τοῖς ἀγνοουμένοις τοῦ λοιποῦ κατατάττειν, ὅτι τυχὸν τισὶν ἠλιθίοις τε καὶ εὐήθεσιν ἀγνοηθῆναι συνέβη.

Πρὸς δὲ τὸ Βʹ. προδήλως ἐξηπατῆσθαι φαμὲν τὸν Οὐέτιον, τὰς ἀσωμάτους οὐσίας πάντη ἠγνοῆσθαι τοῖς ἀρχαίοις φάσκοντα. Ἧπου Θαλῆς, καὶ Πυθαγόρας, καὶ Πλάτων, διαπρύσιοι τῶν νοερῶν οὐσιῶν ἐγένοντο κήρυκες, ὁ μὲν

(1) Βιβλ. Βʹ. περὶ τάξ.

φύσιν ἀεικίνητον ϗ αὐτοκίνητον τὴν ψυχὴν εἰπών, ὁ δὲ ἀριθμὸν ἑαυτὸν κινȣ̃ντα, ὁ δὲ οὐσίαν νοητὴν αὐτοκίνητον ϗ αὐτὸς, οἱ πάντες ἀσώματον, ὡς Πλȣ́ταρχος φησὶν, ὑποτιθέμενοι (1). "Οὐδὲν ταῖς ψυ„χαῖς σύμμικτόν ἐςὶ, φησὶν ὁ Κικέρων (2), ȣ̓δὲν συγκεκριμένον, ȣ̓δὲν συνημ„μένον, ȣ̓δὲν συνεπισεσωρευμένον, ȣ̓δὲν διπλȣ̃ν." Παραπλησίως ἀνεφθέγξαντο ϗ οἱ ἐν τοῖς Πλατωνικοῖς ἄριςοι Ἀλκίνοος, Ἀμμώνιος, Νȣμήνιος, Πρόκλος, Ἰάμβλιχος, Πλωτῖνος, ὧν τὰς μαρτυρίας, τῆς συντομίας φροντίζων, παρίημι. Ἀλλὰ ϗ ἡ τῶν αἰωνίων ἰδεῶν δόξα κατὰ Πλάτωνα, ἥτε τῶν ȣ̓σιωδῶν εἰδῶν κατ᾽ Ἀριςοτέλην, ϗ ἡ τȣ̃ κενȣ̃ διαςήματος κατ᾽ αὐτὸν δὴ τὸν Ἐπίκουρον, μὴ πάντῃ ἠγνοῆσθαι τὴν ἀσώματον φύσιν τοῖς πάλαι σαφῶς ἀποδεικνυσι. Τὸ δὲ ϗ ὕλῃ πάνυ λεπτῇ ἀμφιέσαι τὰ πνεύματα τινὰς τῶν ἀρχαιοτέρων πατέρων, ȣ̓ τȣ̃το δῆλον ἐςὶ τῆς ἀΰλȣ φύσεως ἀναιρεῖν τὸ ἀσώματον. Δύο γάρ τινα ἐπὶ τῆς ψυχῆς ἦσαν ἐκεῖνοι διαςέλλοντες, τὸ μὲν ἰδίᾳ ψυχὴν ἀποκαλȣ̃ντες, τὸ δὲ δὴ πνεῦμα, ὅ καί τισι τῶν παρ᾽ Ἕλλησι σοφῶν ἔδοξε (3)· ϗ τȣ́των τὸ μὲν σωματικὸν, ϗ θνητὸν, οἱονεί τι ὄχημα τȣ̃ πνεύματος ἐβȣ́λοντο εἶναι, τὸ δὲ πνεῦμα ἀσώματον ϗ ἀθάνατον (4), αὐτὸ δὴ τȣ̃το ϗ περὶ τῶν Ἀγγέλων φρονȣ̃ντες. Ἀλλὰ τοιȣ̃τον τι ϗ τῶν νεωτέρων πολλοὶ τῷ ἐν ἡμῖν πνεύματι ὄχημα ὑπεςήσαντο, καίτοι γενναίως τȣ̃ ἀσωμάτȣ τε καὶ ἀθανάτȣ τῆς ψυχῆς προϊςάμενοι.

Τελευταῖον δὲ (ἵνα ϗ πρὸς ἐκείνȣς αὐτȣ̀ς ἀπαντήσωμεν), οἱ τὸ ἀσώματον ϗ ἀθάνατον τῆς ψυχῆς ἐξαρνȣ́μενοι, πόθεν εἰς τȣ̃το προήχθησαν, λόγῳ τυχὸν ἐρειδόμενοι, ἢ μαρτυρίᾳ πειθόμενοι; Ἀλλὰ τȣ̀ς μὲν ἀνθυποφερομένȣς τῶν λόγων, ὅσης ἔχονται ἀλογίας, παρακατιὼν ὁ λόγος διδάξει, ἀναδείξει τε ἀράχνης ἰςȣ̃ σαθροτέρȣς, ϗ βελῶν νηπίων ἀδρανεςέρȣς. Τὴν δὲ δὴ μαρτυρίαν τȣ̃ χύδην ὄχλȣ (ὃς εἰκόσιν ἀεὶ σωματικαῖς, ἅτε δὴ παχὺς τὴν διάνοιαν, ἐνηδόμενος, διὰ λεπτῶν τινῶν σωμάτων ἑαυτῷ παρίςησι ϗ τὰ ὕλης κρείττονα) ȣ̓κ ἀπαναινόμεθα μὲν, ἀλλὰ δικαςαῖς ἥπȣ τοιȣ́τοις τὴν περὶ τῶν τηλικȣ́των καταπιςεύειν ψῆφον, εἰκότως αἰδȣ́μεθα.

(1) Βιβλ. Δ. περὶ Ἀρεσκόντ. Κεφ. Β.

(2) Βιβλ. Α΄. τῶν Τȣσκȣλ. ζητ.

(3) Ὅρα Πλȣ́τ. Δ. περὶ Ἀρεσκ.

(4) Ὅρα Τατιαν. πρὸς τȣ̀ς Ἕλλ. ϗ Εἰρην. Βιβλ. Ε. Κεφ. ς. ϗ Ζ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΙΕ΄.

„Τὰ περὶ τοῦ ἀσωμάτου τῆς ψυχῆς ϗ ἀθανάτου, τῆς τῶν Χριστιανῶν τυγ-„χάνει δόγματα πίστεως.

## Δεῖξις.

Τῆς Χριστιανῶν πίστεως δόγματα ἐστὶ τὰ ὑπὸ Θεοῦ ἀποκαλυφθέντα· περιέχεται δὲ τὰ τοιαῦτα ἔντε ταῖς θεοσδότοις γραφαῖς, ϗ ταῖς παραδόσεσι. Τοιαῦτα δὲ τὸ ἀσώματον τῆς ψυχῆς ϗ ἀθάνατον. Ἄρα κτ:. Δεικτέον δὴ τὴν ἐλάττονα· ἡ γὰρ μείζων ὑποτίθεται τοῖς Χριστιανοῖς, πρὸς οὓς ἡ πρότασις ἀνατείνεται.

Ἐκ μὲν οὖν τῆς παλαιᾶς διαθήκης τὸ ἐν ἀρχῇ τῆς γενέσεως παραλαμβάνεσθαι εἴωθεν, ἐνεφύσησε, φάσκον, ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ πνοὴν ζωῆς, ϗ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, ἄψυχος τὸ πρὶν οἱονεὶ ἀνδριὰς κατακείμενος. Καὶ οἶδα μὲν ὅ φησι Γρότιος ϗ Καλμέτος, νοεῖσθαι τοῦτο ἔχειν ὁπωσοῦν ϗ κατὰ δόξαν τὴν Δικαιάρχου, ὡσανεὶ τοῦ ζωτικοῦ τῆς ἐντεθείσης ἀνθρώπῳ δυνάμεως ὑποδηλουμένου τῷ ἐμφυσήματι, ταύτητοι μηδ' ἀποδεικτικὸν εἶναι πρὸς τοὺς ἀμφὶ τὸν δυσσεβῆ Σοκῖνον τὸ ἐπιχείρημα. Ἀλλ' ὁμολογητέον οὐ μικρὰν ἐνεῖναι τῷ λόγῳ δύναμιν, εἰ μέλλομεν θεοπρεπές τουτὶ νοεῖν τὸ ἐμφύσημα, ϗ ἀνδράσι πείθεσθαι θειοτάτοις ἅμα ϗ ὀξυτάτοις, τοῖς τὴν ψυχῆς ἀϋλοτέραν φύσιν ἀνέκαθεν ἐν τῷδε ἐπιγνοῦσι τῷ ἐμφυσήματι. Ἐπὶ τούτῳ δὲ ϗ τὸ ὑπὸ τοῦ νόμου ἀπαγορευθὲν ἐν τῷ Λευιτικῷ, μηδαμῶς χρῆσθαι τὰς τῶν ἀπελθόντων ψυχὰς, εἰς ἐπίγνωσιν τῶν ἀπορουμένων, σαφῶς παρίστησιν, ἀθάνατον τὴν τῶν ψυχῶν φύσιν ἐπὶ Μωσέως παισὶν Ἑβραίων γεραίρεσθαι (1). Τὸ γεμὴν τῆς Ἐγγαστριμύθου, τὴν τοῦ Σαμουὴλ ψυχὴν ἐν ἐσχάτοις περιόντι δεινοῖς τῷ Σαοὺλ παραστησάσης, εἰμὴ ἔχει ἀναμφιλέκτως, τῶν μὲν τὴν ψυχὴν τῷ ὄντι τοῦ προφήτου παραστῆναι τῷ βασιλεῖ οἰομένων, Θεοῦ ἐπιτρέψαντος, τῶν δὲ φάσματι ἐκεῖνο γενέσθαι, ϗ οὐδὲν πλέον, ἀλλά γε οὕτω τὸν Σαοὺλ φρονεῖν, καίτοι μὴ περὶ τὰ τῆς θρησκείας δόγματα ἀπαιδεύτως ἔχοντα, λαμπρῶς ἀποδείκνυσιν. Ἦν ἂν ϗ ἐκ τῶν βιβλίων τῆς Σοφίας ϗ τῶν Μα-

---

(1) Ἔδει δήπου ἀντὶ τοῦ ἀπαγορεῦσαι μεταπεῖσαι τὸν Μωσῆν, ὅτι οὐδὲ περίεισιν ὅλας ψυχαὶ μετὰ θάνατον τοὺς Ἑβραίους διδάξαντα, καὶ τὸ κενὸν αὐτοῖς ἀποδείξαντα τῆς πρὸς τὸ μὴ ὂν πεποιθήσεως. Ἀλλ' ἤπου ἀθανάτους ἡγεῖτο, ϗ τοιαῦτα ϗ τοῖς ἄλλοις φρονοῦσιν ἀπαγορεύει ὡς ἀνοσίαν τὴν χρηστηρίασιν.

καβαίων ἀριδηλοτέρας παραλαβεῖν τὰς τοῦ τοιούτου πίστεις. Ἐπεὶ δὲ οἱ περὶ
Σοκῖνον τοῦ κανόνος τῶν θείων ἐκείνας ἐκσυρίττουσι βίβλων, ἔστιν ἡλίου τηλαυ-
γέστερον, πρὸς τούτους διαλεγομένοις, ἐκ τῆς καινῆς διαθήκης μαρτυρίας ὑπε-
νεγκεῖν, τὸ πρᾶγμα ἐμφανιζούσας.

Ὁ μὲν οὖν Κύριος ἡμῶν (Ματθ. Ι΄. Ἐδ. 28.) "μὴ φοβηθῆτε, φησὶν, ἀπὸ
„τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, φο-
„βήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν, καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ."
Ἦ οὐ λευκότατα ἐν τούτοις ἡ ψυχὴ τοῦ σώματος, καὶ ὁ τῇδε βίος τοῦ μετὰ τοῦ-
τον διακέκριται; Καὶ Ματθ. δὲ ΙΗ΄. ὤφθησαν σὺν τῷ Χριστῷ Μωϋσῆς καὶ Ἠλίας.
Περίεστιν ἄρα ψυχὴ Μωσέως καὶ μετὰ θάνατον. Καὶ Παῦλος ἐπιστ. πρὸς Φι-
λιππησίους, "ἐπιθυμῶ, φησὶν, ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι." Περίεστιν ἄρα
κατὰ Παῦλον ἡ ψυχὴ μετὰ τὴν ἀνάλυσιν. Καὶ ἀσώματος ἄρα ἡ αὐτὴ καὶ ἀθά-
νατος. Τούτοις πρόσθες καὶ τὴν ἀνέκαθεν ἀπό γε τῶν Ἀποστόλων ἄχρις ἡμῶν ἀ-
διαλείπτως σύμψηφον τῶν Χριστιανῶν ὁμολογίαν, ἣ ἐν τοῖς θεολογικοῖς
τόποις ὑπερβαλλούσης ἀξία τυγχάνει πειθοῦς γε καὶ πίστεως.

Ἤδη δὲ καὶ πρὸς τὰ ἀντιφερόμενα ἀπαντητέον (μηδὲ γὰρ δίκην φησὶ δικά-
σῃς πρὶν ἀμφοῖν μύθων ἀκούσῃς), καὶ ἐπιλυτέον πρῶτον μὲν τὰ τῶν Ἐπικουρείων,
εἶτα τὰ τῶν Σοκινιανῶν ἐπιχειρήματα. Ἐκεῖνα μὲν οὖν ὁ Ῥωμαῖος Λουκρέτιος,
ὀπαδὸς πάνυ θερμὸς Ἐπικούρου γενόμενος, ἐν μέτροις Λατινικοῖς τὴν τοῦ καθηγε-
μόνος αὐτοῦ φιλοσοφίαν διασῶσαι ἡμῖν ὑποτίθησιν, εἰς ἀριθμὸν πολὺν πλη-
θυνόμενα, ὧν παροίσομεν ἡμεῖς τὰ κυριώτερα ταῦτα.

Α΄. Μεγίστη, φησὶν ὁ Ἐπικούρειος οὗτος, ἡ ψυχῆς μεταξὺ καὶ σώματος ἐνο-
ρωμένη ἁρμονία. Ταῦτα γὰρ οὕτω συμφώνως ἔχει πρὸς ἄλληλα, ὡς ἀμοιβα-
δὸν συμπαθαίνεσθαι, καὶ διατιθεμένης ὁπωσοῦν τῆς ψυχῆς, ἅμα κινεῖσθαι τὸ σῶ-
μα, ἀνάπαλιν δὲ, τούτου κίνησιν τινὰ ὑφισταμένου, ἐκείνην συνάμα διατίθεσθαι· τὸ
δὲ οὐκ ἂν ἔχοι γενέσθαι, μὴ ἀμφοτέρων φύσεως τῆς αὐτῆς μετεχόντων. Εἰ γὰρ
ἡ μὲν τοῦτο διατίθησιν, ἐκείνην δὲ αὐτὸ τοῦτο, καὶ ἐνεργεῖ ἐπ' ἀλλήλοις, ὁμο-
φυῆ ἔσται ἄρα καὶ ἀμφότερα σώματα· σώματος γὰρ, ὅτι μὴ σῶμα, ἅπτεται
ἄλλο οὐδέν.

Β΄. Ἐκ λεπτῶν ἄγαν σωματίων συνισταμένη, φησὶν, ἡ ψυχὴ, καὶ ἀχλὺν
αὐτὴν, καὶ καπνὸν ὑπερακοντίζει λεπτότητι καὶ εὐκινησίᾳ. Ὥσπερ οὖν ἐκεῖνα εἰς
αὔρας οἴχεται διασκεδαννύμενα, οὕτω δὴ καὶ αὕτη διαλύεσθαι πέφυκε.

Γ΄. Συναναφύεσθαι τὴν ψυχὴν, καὶ συναύξειν τῷ σώματι αἰσθανόμεθα,

ϗ συννηπιάζειν τοῖς νηπίοις, ϗ συνηβᾶν ἡβῶσι, ϗ ἀνδράσι συνανδρίζεσθαι, ϗ συγγηράσκειν γηράσκουσι. Τοιγαροῦν ϗ συνδιαφθείρεται φθειρομένοις.

Δ΄. Ὑφίσασθαι ἄρα ϗ πάθη τὰ αὐτῇ προσήκοντα, ϗ ἄγχεται μὲν ταῖς μερίμναις, κατατρύχεται δὲ ταῖς ἀνίαις, τήκεται δὲ τοῖς κοπετοῖς, ἐκλείπει δὲ δείμασι. Καὶ θανάτῳ ἄρα καταναλίσκεται.

Ε΄. Καὶ νοσεῖ δὲ μανίᾳ συνεχομένη τὰ πολλὰ, ϗ θεραπείαν ἐπιδέχεται· καθὰ ϗ τὸ σῶμα.

ς΄. Εἰ δ' ἀθάνατος, τί μὴ ἡδέως τοῦ σώματος ἀπολύεται; Ἢ γὰρ ἑκοῦσα ἐνηνέχθη τῷ σώματι, ἢ γοῦν ὑπ' ἀνάγκης ὠθουμένη. Ἀλλ' εἰ τὸ πρῶτον, ἐπεὶ πολλὰ συνέπαθεν ἐκείνῳ, ϗ συνήλγησεν, ἑκοῦσαν αὐτὴν, ϗ ἀσμένως ἔδει τῆς ἀπαλλαγῆς ἱμείρεσθαι. Εἰ δὲ τοῦτο, τί ποτε ἐν εἱρκτῇ οὕτως ἀνιαρᾷ κατακέκριται (1);

Καὶ ταῦτα μὲν τὰ τῶν Ἐπικουρείων ὅπλα, οἷς τὸ ἀθάνατον τῆς ψυχῆς καθελεῖν πεποίθασι, μάλιστα τὰ ἰσχυρότερα. Ἀλλὰ τούτων τὸ μὲν Α΄., ὃ σωματικὴν τὴν ψυχὴν ἐπείγεται δεῖξαι, δι' ἣν ἔχει πρὸς τὸ σῶμα κοινωνίαν καὶ συναίσθησιν, οὐδὲν ἰσχύει. Ἐπεὶ γὰρ ἔδοξε τῷ δημιουργῷ ἐξ ὁρατῆς τε καὶ ἀοράτου συμπῆξαι τὸν ἄνθρωπον φύσεως, ἵνα μὴ τέρας ᾖ τι τοῦτο διφυές τε ϗ δικέφαλον, ὤφειλε ϗ ἁρμονίαν ἐν ταῖς διαφερούσαις ταύταις προδιατάξασθαι τινὰ φύσεσιν. Εἰ δὲ καὶ ἀπερινόητος ἐστὶν ὁ τρόπος, καθ' ὃν ὑπὸ τοῦ ἀσωμάτου τὸ σωματικὸν διατίθεται, ϗ ἀνάπαλιν, οὐμὴν ἀλλ' ὅτι τοῦτο τελεῖται σαφῶς εἰδέναι ἔχομεν ϗ ἐπὶ τῶν δυνάμεων ἁπασῶν τῶν κινητικῶν, αἵτινες ἀσώματοι οὖσαι, τὴν σωματικὴν φύσιν διατιθέασι ϗ κινοῦσι, ϗ ὑπὸ τῶν σωμάτων αὖθις ἐπιτείνονται, ἢ γοῦν ἀνίενται, ϗ τέλεον παύονται.

Ὁ μὲν οὖν Σιλουανὸς ὁ Ῥήγιος ἐν τῷ περὶ χρήσεως λόγου καὶ πίστεως Βιβλ. Α΄. Μέρ. Α΄. Κεφ. Γ΄. δεκάδα τινὰ θεσμῶν ὑποτίθησι τοῦ συνδέσμου ψυχῆς ϗ σώματος, ὧν αἰσθήσει ἐνδοτάτῃ ὅσαι ὧραι πειρώμεθα. Α΄. ἐν ᾧ συνῆπται ἡ ψυχὴ τῷ σώματι, ἀφορμῇ τῶν ὑπὸ τῶν ἐκτὸς σωμάτων ταῖς αἰσθήσεσιν ἐνεγειρομένων κινήσεων, τὴν ἰδέαν φέρει τῆς σωματικῆς ἐκτάσεως. Ἐξ οὗ συμβαίνει ϗ πάσας τὰς νοερὰς ἀντιλήψεις τοῖς σωματικοῖς συνεζεῦχθαι φαντάσμασι, μηδὲ ἐξεῖναι τῇ ψυχῇ, ἐν ᾧ ἂν εἰδοποιοίη τὸ σῶμα, πάντῃ καθαρὰν ἔχειν τινὰ διανόησιν. Β΄. Πᾶσα κίνησις ἐμποιουμένη τῷ ἐγκεφά-

(1) Ὅρα τοὐπιχείρ. τοῦτο παρὰ Ἀρνοβίῳ Βιβλ. Β΄. κατὰ τῶν Ἐθν.

λῳ, παραπλήσιον αἴσθημα τῇ ψυχῇ ἐνεγείρει, ἐκείνη συνδιαρκοῦν ϗ συνδιαμένον. Γ'. Ἐν ὅσῳ σύνεστι τῷ σώματι, φέρει ἔννοιαν σώματός τινος ταῖς αἰσθήσεσιν ἰδίᾳ ἐπενεργοῦντος. Δ'. ἐνεγερθείσης ὑπό τινος τῶν ἐκτὸς τῷ ἐγκεφάλῳ κινήσεως, ἐπιστρέφει πρὸς αὐτὸ ἡ ψυχὴ παραυτίκα, ϗ πρὸς αὐτὸ τοῦτο τὸν ἀντικείμενον ἀναφέρει τὴν κίνησιν συνάμα ταῖς περιστάσεσι τοῦ χρόνου καὶ τοῦ τόπου. Ε'. Ἐὰν δὲ αὖθις ἐνεγερθῇ τις τῷ ἐγκεφάλῳ κίνησις, ἡ ϗ ἄλλοτε ποτὲ γενομένη ὑπὸ τοῦ ἐκτὸς ἀντικειμένου, ἀναφύεται ἐν τῇ ψυχῇ ἡ τοῦ αὐτοῦ ἀντικειμένου ἀνάμνησις. ς'. Κινήσεως ἐμποιουμένης τῷ σώματι, δι' ἧς ἡ ἐν αὐτῷ ἁρμονία σώζεται, ἢ περιτρέπεται, ἐγγίνεται τῇ ψυχῇ ἡδονὴ, ἢ ἀνία. Ζ'. Αἱ σὺν ἡδονῇ συνημμέναι ἰδέαι διορίζουσι τὴν ψυχὴν πρὸς θήραν τῶν παραιτίων, αἱ δὲ σὺν ἀνίᾳ πρὸς ἀποτροπήν. Η'. Πᾶσαι αἱ τῆς ψυχῆς ἔννοιαι, αἳ εἴτε τῷ ἡμετέρῳ προσανήκουσαι σώματι, εἴτε τῇ ψυχῇ, ἢ ἐπ' ἀγαθῷ εἰσὶν ἑκατέρων, ἢ ἐπὶ φαύλῳ συνημμέναι εἰσὶ κινήσεσιν ἐνεγειρομέναις τῷ ἐγκεφάλῳ. Ἔνθεντοι ϗ κατὰ νόησιν φοβεροῦ τινος ὑποτρέμειν ἄρχεται τὸ σῶμα, ἐπεράστου δέ τινος ϗ ἱμεροῦ νοουμένου, αὐτίκα ὀφθαλμοὶ χαροποὶ, ϗ φαιδρὸν τὸ πρόσωπον, οἷς Θ'. πρόσθες ϗ τὸ τῆς ψυχῆς εὐεπίβολον, ἢ δυσεπίβολον, ἧπερ ἂν ἑτοίμως ἔχει ἐγκέφαλος ϗ αἴσθησις πρὸς κίνησιν, ἢ τἐναντίον.

Καὶ οὗτοι μὲν οἱ νόμοι τῆς συναφείας τῆς ψυχῆς σὺν τῷ σώματι, ὧν οὐδεὶς ἐστιν ὃς ἐν ἑαυτῷ οὐ πεπείραται. Ὁ γεμὴν τῆς συναφείας τρόπος, ἐξ ἧς οἱ εἰρημένοι θεσμοὶ ἀπήρτυνται, οὐ σύμφωνα εἴληφε περὶ αὐτῶν ἀποφαινομένους ἄχρι τοῦδε τοὺς φιλοσοφοῦντας. Οἱ μὲν γὰρ Σχολαστικοὶ φυσικῶς ἐπιῤῥεῖν οἴονται τὴν ψυχὴν τῷ σώματι, δόξαν δὴ ταύτην πρεσβεύοντες, ἧς οὐδεὶς, τοῦ ἀσωμάτου τῆς ψυχῆς σωζομένου, οὐδεὶς ἔχει προστῆναι. Οἱ δὲ οὐσίαν τινὰ πρὸς τοῦτο μέσως πως ἔχουσαν εἰσήνεγκαν μεταξὺ σώματος ϗ ψυχῆς, οἷον Ἀθηναγόρας μετά τινας τῶν ἀρχαιοτέρων, ϗ ἐν νεωτέροις Γασσένδος, ϗ Κουδβόρτιος, ϗ ὁ Κλέρικος. Οἱ δ' ἀμφὶ Καρτέσιον τὸν Θεὸν αὐτὸν ἄμεσον αἰτίαν βούλονται τῶν τοιούτων νόμων, τὰς μὲν ἐν ψυχῇ ἐννοίας ἀφορμῇ τινῶν κινημάτων τῶν ἐν τῷ σώματι, τὰς δὲ σωματικὰς κινήσεις ἀφορμῇ τινῶν ἐννοημάτων τῶν ἐν τῇ ψυχῇ ἀμέσως παράγοντα. Οἱ δὲ τῷ Λεϊβνιτίῳ προσκείμενοι, ἐκ τῆς φύσεως τῆς ψυχῆς ϗ τοῦ σώματος, δι' ἁρμονίας τῆς προθεσπισθείσης τὰ τοιαῦτα ἀναπτύσσουσιν, ἃ δὴ κατωτέρω ἐξακριβώσασθαι ὡς οἷόν τε πειρασόμεθα. Ἐκ μὲν οὖν τῶν ὑστέρων συστημάτων ἔχει ἂν τὰ τοῦ Λουκρετίου ἐπιχειρήματα προσφυῶς ἀνασκευασθῆναι. Ἀλλὰ κἂν δῶμεν τὸν τρόπον τῆς συναφείας

τῆς ψυχῆς σὺν τῷ σώματι τοῖς πάντῃ ἀγνοουμένοις συγκαταλέγειν, οἷς ἂν βουλητὸν τοῦτο γένηται, οὐ παρὰ τοῦτο δήπου τὰ παρενεχθέντα δυσχερῶς ἐπιλύεται.

Πρὸς δὲ τὰ ἔσχατα τῶν ἐπιχειρημάτων τοῦ Λουκρετίου, τοῖς ἀριθμηθεῖσι νόμοις προσέχοντες, εὐπετῶς ἀπαντήσομεν. Κατ᾿ ἐκείνους γὰρ νοεῖ ἡ ψυχὴ κατὰ τὰς τοῦ ἐγκεφάλου κινήσεις, καὶ τὰς τῶν αἰσθήσεων, αἷς καὶ συνδιατίθεται. Ἐκ τούτου γε μὴν οὐχ ἕπεται αὐτὴν σωματικὴν εἶναι καὶ θνητήν, ἀλλὰ τοῦτο μόνον, οὕτως ὑπὸ τοῦ δημιουργήσαντος αὐτὴν ὑποστῆναι, ὡς μὴ ἔχειν, ἐφ᾿ ὅσον ἂν συνοικείοι τῷ σώματι, ἄλλως ἐνεργεῖν. Αἵ τε διαβεβοημέναι ἐνστάσεις ἐκεῖναι, φαινόμενα εἰσὶ τῶν ἐπὶ ἀνθρώπου, ἐκ τῶν θεσμῶν τῆς μετὰ τοῦ σώματος συναφείας τῆς ψυχῆς ἀναφυόμενα, καὶ ἀναπτυσσόμενα. Τὸ δὲ τὴν ψυχὴν τὴν ἀπὸ τοῦ σώματος διάζευξιν ἐκπτοεῖσθαι, καὶ καταπτήσσειν, τοῦτο τυχὸν ἀναλογισμῷ τοῦ μετὰ τοῦτον βίου, ἀδήλου τε ὄντος, καὶ ἀτεκμάρτου τὰ περὶ τὴν κατάστασιν, συμβαίνει, ὡς ὑπείληφεν ὁ Λίψιος· ἢ ὅτι ἀγεννῶς τοῖς ἀγαθοῖς τοῦ τῇδε βίου προστηκομένη, χαλεπῶς ἀνέχεται τὴν παραίτησιν. Ἄλλως τε καὶ πολλοὺς ἴσμεν ἀποτασσομένους τῇ χλιδῇ τῶν γηΐνων, καὶ λόγον οὐδένα τούτων πρὸς τὰ ἐκεῖσε καλὰ ποιουμένους, ἐπιθυμοῦσι δὲ μετὰ Παύλου ἀναλῦσαί τε, καὶ σὺν Χριστῷ εἶναι. Ἐκεῖνο δέ, ὃ ζητοῦσι παρ᾿ ἡμῶν παιδευθῆναι, πότερον ἀσμένως, ἢ ἄκουσαι τοῖς σώμασιν αἱ ψυχαὶ ἐγκαθείργνυνται, τῷ ὄντι καὶ πάνυ ἐστὶ καταγέλαστον. Εἰ μὴ γὰρ τῶν σωμάτων αὐτῶν προϋπάρχουσιν, ὡς ὁ ὀρθὸς βούλεται λόγος, φανερὸν ὅτι οὐδέτερον πάσχουσι.

Καὶ ταῦτα μὲν τὰ πρὸς Ἐπικουρείους. Οἱ δὲ περὶ Σοκῖνον τοσοῦτον ἀπέχουσι τοῦ διομολογῆσαι, τὰ περὶ τοῦ ἀΰλου τῆς ψυχῆς καὶ ἀθανάτου δόγμα ἐν ἱεραῖς δέλτοις κεῖσθαι ἀνάγραπτον, ὥστε καὶ ἐν αὐταῖς τὰ τὸ ἐναντίον πείθοντα φρόνημα, σοφῶς, φασίν, ἐκδιδάσκεσθαι. Τῇ Πυθαγόρου γάρ, καὶ Πλάτωνος φιλοσοφίᾳ τῇ πίστει τῶν Χριστιανῶν, οἴονται συνερρυηκέναι τὰς δόξας, αἷς γεραίρεται ἡ ψυχὴ σώματός τε ἀπηλλαγμένη, καὶ φθορᾶς κρείττων. Ἐν γε μὴν ὅλῳ τῷ πεντατεύχῳ Μωσέως, οὐδ᾿ ἴχνος γοῦν οὐδὲ τὸ τυχὸν εὑρεῖν ἐστι τοῦ τοιούτου· πολλοῦ γε καὶ δεῖ· τοὐναντίον γὰρ σωματικὴν αὐτήν, καὶ φύσει διαρρέουσαν ἐξ αὐτῶν τῶν βίβλων εἰσβαλεῖν ἔστι τῶν ἱερῶν. Ἐκ γὰρ πηλοῦ Θεὸς πλάσας τὸν ἄνθρωπον, ἐνεφύσησεν αὐτῷ πνοὴν ζωῆς, ὃ δὴ ναφέσχ χαϊάχ, καὶ νισχμὰτ χαιῒμ πανταχοῦ τῶν πρωτοτύπων ἐκφέρεται, ἅπερ ἄσθμα, καὶ φύσημα, καὶ ἀναπνοὴν σημαίνει, ὡς δῆλόν ἐστι τοῖς τὰ Ἑβραϊκὰ ἡμῖν διερμηνεύουσι.

Ταῖς αὐταῖς δὲ φωναῖς τὰ ἱερὰ γράμματα καὶ τὰς τῶν κτηνῶν ψυχὰς, τὰς σωματικὰς εἶναι ὁμολογουμένας, ἐκφέρει. Ἀλλὰ καὶ ἁπλῶς εἶναι σωματικὸν τὸν ἄνθρωπον, ἐξ αὐτῶν δὴ τῶν φωνῶν ἐστὶ κατάδηλον φασὶν, αἷς τὴν πλάσιν αὐτοῦ ὁ ἱερομύστης Μωσῆς ἡμῖν ἀναγράφων ἐχρήσατο. Ἔπλασε γὰρ, φησὶ, τὸν ἄνθρωπον χοῦν ἐκ τῆς γῆς λαβὼν, οὐχὶ δὲ ἐκ χοὸς, ἥτινες ἀναγινώσκειν εἰώθασι, τῆς προθέσεως μὲν ἐν τοῖς ἀρχετύποις τῆς γῆς ἀμέσως, καὶ οὐχὶ τοῦ χοὸς προκειμένης. Παραβάντι δὲ (μυσίας τῆς ψυχῆς μηδ' ἧς τινοσοῦν γινομένης) τῷ Γενάρχῃ οὕτως ἐπαπειλεῖ Θεὸς, γῆ εἶ, φήσας αὐτῷ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ἐπὶ τούτοις δὲ παραπλησίως περί τε τῆς ἀνθρώπου, καὶ τῆς τῶν κτηνῶν αὐτῶν, τὰ ἱερὰ βιβλία διείλεκται. Καὶ γὰρ, (Γεν. Ζ'. Ἐδαφ. ΚΒ'.) ταῖς αὐταῖς φωναῖς νισχμὰθ χαῖιμ ἀνθρώπων ἐπίσης τε καὶ κτηνῶν ἡ ψυχὴ καλεῖται, ἣ που παρατετήρηται τῷ Σχερζερίῳ ἐν τῷ θεολογικῷ αὐτοῦ συστήματι τύπῳ Ε'. Καὶ ἐν τῷ Θ'. δὲ τῆς γενέσεως διαθήκην τὸ θεῖον διέθετο οὐχ ὅπως πρὸς ἀνθρώπων γένος, ἀλλὰ καὶ πρὸς πᾶσαν ψυχὴν ζῶσαν, τὴν ἔν τε πτηνῶν εἴδεσι, καὶ κτηνῶν ἐπίσης· καὶ λόγον δὲ τῆς ἀνθρώπου ζωῆς ζητεῖ, ἐκ χειρῶν ἀνθρώπων καὶ κτηνῶν οὐδὲν ἔλαττον, ὡς εἰ μηδὲν πλέον εἶχεν ἄνθρωπος κτήνους, ὁμοίως ὑπευθύνων καθισαμένων. Ἔτι δὲ καὶ Σολομὼν αὐτὸς διαῤῥήδην τὸ θνητὸν τῆς ἀνθρωπείου ψυχῆς ἀποφαίνεται ἐκκλησιαστοῦ Κεφ. Γ'. "Εἶπα ἐν καρδίᾳ μου περὶ λαλιᾶς υἱῶν ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεὸς, καὶ τοῦ δεῖξαι, ὅτι αὐτοὶ κτήνη εἰσί. Καίγε ἐν αὐτοῖς συνάντημα υἱῶν τοῦ ἀνθρώπου, καὶ συνάντημα τοῦ κτήνους, συνάντημα ἓν αὐτοῖς· ὡς ὁ θάνατος τούτου, οὕτω καὶ ὁ θάνατος τούτου, καὶ πνεῦμα ἓν τοῖς πᾶσι· καὶ τί ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος; οὐδὲν ὅτι πάντα ματαιότης. Τὰ πάντα εἰς τόπον ἕνα, τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χοὸς, καὶ τὰ πάντα ἐπιστρέψει εἰς τὸν χοῦν. Καὶ τίς οἶδε πνεῦμα υἱῶν τοῦ ἀνθρώπου, εἰ ἀναβαίνει αὐτὸ ἄνω; καὶ τὸ πνεῦμα τοῦ κτήνους, εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν; Καὶ ταῦτα μὲν Σολομών.

Εἶτα φασὶ Παῦλος ἐν τῇ Α'. πρὸς Κορινθ. Κεφ. ΙΕ'., τὴν τοῦ Χριστοῦ ἀνάστασιν διαπιστούμενος, τῇ μαρτυρίᾳ τῶν κατιδόντων αὐτὸν ἀναστάντα, δεικνύουσιν ἐφεξῆς, ὅτι καὶ ἡμεῖς ἀναστησόμεθα ποτὲ, δυνατῆς τε οὔσης τῆς ἀναστάσεως, ὡς ἐπὶ Χριστοῦ δῆλον, καὶ ὅτι κεναὶ ἂν ἦσαν ἡμῶν αἱ θλίψεις πᾶσαι καὶ αἱ ταλαιπωρίαι, εἰμὴ ἐμέλλομεν ἀναστήσεσθαι. "Εἰ γὰρ, φησὶν, ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. . . .

ΙΩΑΝΝΙΝΑ 2006

„Τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; φάγωμεν ϗ πίωμεν, αὔριον γὰρ „ἀποθνήσκομεν.“ Ο῾ μὲν οὖν οὕτω λέγων, πέπεισαι ἤδη τὴν ψυχὴν μετὰ θάνατον μηδαμῶς ὑπολείπεσθαι ζῶσαν. Εἰ γὰρ ὑπερελείπετο, ϗ τῶν σωμάτων μηδαμῶς ἀνισαμένων, εἶχον ἂν οἱ πεπονηκότες ϗ ἀγωνισθέντες ἐν ταῖς ψυχαῖς, ϗ σωμάτων ἄνευ ἐλπίζειν τῶν ἀγώνων τὰς ἀντιδόσεις. Τὸ τοίνυν δόγμα τῆς ἀθανασίας τῆς ψυχῆς ἀναιρεῖν ἔοικε, φασὶ, τῆς τῶν σωμάτων ἐξαναστάσεως τὸ ἐπάναγκες. Καὶ ταῦτα μὲν οἱ περὶ Σοκῖνον.

Τὸ μὲν οὖν πρῶτον ἐπιχείρημα τούτων, τὸ ἐκ τῆς σιγῆς τῶν Γραφῶν λαμβανόμενον, οὐ μᾶλλον δείκνυσι τὰς ψυχὰς σωματικάς τε ϗ θανάτῳ ὑποκειμένας, ἤπερ ἡ σιγὴ τοῦ ἀσωμάτου ἐπὶ Θεοῦ, ἐν αὐτοῖς τούτοις τοῖς θεοπνεύστοις γράμμασι, σωματικὸν εἶναι τὸν ὑπέρτατον νοῦν ἀποδεικνυσιν. Οὐδὲν τοίνυν θαυμαστὸν, εἰ οὕτω περὶ τοῦ ἀνθρώπου, ὡς περὶ ἁπλῶς σωματικοῦ ϗ θνητοῦ, οἱ θεοφόρητοι ἐκεῖνοι συγγραφεῖς ἀνεφθέγξαντο, οἱ ϗ περὶ τῆς Θεοῦ φύσεως ὡς περὶ σωματικῆς ἀείποτε τοὺς λόγους ποιήσαντες. Μετρεῖν γὰρ εἴωθε τοῖς παιδευομένοις ἡ γραφὴ τὰ μαθήματα, καὶ τῇ ἁπλότητι ϗ ἀγροικίᾳ τοῦ Ε῾βραίων δήμου ἐν πολλοῖς φιλεῖ συγκαταβαίνειν τε ϗ συμμεθαρμόζεσθαι, μηδὲν ὑπὲρ τὰ σώματα περινοεῖν ἐξισχυόντων. Ω῞σπερ οὖν Ω῾ββέστιος οὐκ ἂν ὀρθῶς ἐκ τῶν τοιούτων τῆς παλαιᾶς διαθήκης φράσεων ἐπιφέροι τὸν Θεὸν σωματικὸν εἶναι, οὕτως ἐκ τῶν παραπλησίων ῥήσεων οὐκ ὀρθῶς δήπου οὐδ᾽ αὐτοὶ οἱ περὶ Σοκῖνον τὸ σωματικὸν τῶν ψυχῶν ὑποσυνάπτειν πειρῶνται. Τὸ γοῦν μὴ οὕτως ἀνεπτυγμένως τε ϗ σαφῶς περὶ τοῦ μετὰ τοῦτον βίου τὸν Μωσῆν ἀναφθέγξασθαι, τῆς Θεοῦ τυχὸν ἀτεκμάρτου προνοίας ἦν, τῆς ἐν χρόνοις τεταγμένοις τὸ μέγα τουτὶ δόγμα ὑπὸ τοῦ θεανθρώπου ἀποκαλυφθῆναι προορισαμένης, ᾗ ϗ Αὐγουστίνῳ δοκεῖ. Οὐ γὰρ ἅμα πάντα τὸ θεῖον τοὺς ἀνθρώπους ἐδίδαξεν, ἀλλὰ τὰ μὲν πρῶτον εἰς πίστιν προέθετο ἀποκαλυφθέντα, τὰ δ᾽ ὕστερον ἀνεβάλετο, ὡς ἐκ τῆς ὅλης τῶν ἱερῶν γραφῶν οἰκονομίας κατάδηλον ἵσταται.

Τί δ᾽ ἂν εἴποιμεν πρὸς ἐκεῖνο τὸ Σολομόντειον; Η῎ ὅτι οὐχ οὗτος ἐκείνου ὁ νοῦς, ἐφ᾽ ἑνὶ μηδενὶ τοὺς ἀνθρώπους τῶν κτηνῶν διαφέρειν, τούτοις ὁμοιοτάτους ἐν ἅπασι τυγχάνοντας. Καὶ γὰρ ἐν ἄλλοις ὁ αὐτὸς Σολομῶν τὴν ὑπεροχὴν τῆς ψυχῆς ὑπὲρ τὰ κτήνη λαμπρῶς ἐκδιδάσκει. Α᾽λλὰ γεννήσει τε, καὶ βίῳ τῷ ζωτικῷ δὴ τούτῳ, ϗ τῇ διαφθορᾷ, ἡμᾶς ἐκείνοις παραπλησίους εἶναι τοῖς κτήνεσι, καθ᾽ ὃ περικείμεθα σῶμα, ἐκ τοῦ αὐτοῦ πηλοῦ τὴν ἀρχὴν ἔχοντας, ϗ

ἐπὶ τὸν αὐτὸν ὡσαύτως ἐπιστρέφοντας, τοῦτο ἐστιν, ὅπερ ἐκεῖνος ὑποβάλλει. Οἳ δὲ προστίθησιν, ὅτι τὶς οἶδε πνεῦμα υἱῶν τοῦ ἀνθρώπου, εἰ ἀναβαίνει αὐτὸ ἄνω, καὶ τὸ πνεῦμα τοῦ κτήνους, εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν, τοῦτο πρὸς τὸν φυσικὸν ἀφορᾷ λόγον, ᾧ μόνῳ φωταγωγούμενοι, τὴν ἀκριβῆ διαφορὰν τῶν ψυχῶν τῶν κτηνῶν καὶ τῶν ἀνθρώπων ἐναργῶς τε καὶ διακεκριμένως ἐπιγνῶναι οὐκ ἔχομεν. Τοῦτο δὲ τὸ ἀσθενὲς ἡμῶν τοῦ νοῦ καὶ ἀμβλὺ μυριαχοῦ οἱ πνευματοφόροι συγγραφεῖς ἡμᾶς ὑπομιμνήσκειν οὐ παύονται, οἷον Ἰὼβ ἐν πολλοῖς, καὶ Σολομὼν αὐτὸς ἐν ταύτῃ τῇ βίβλῳ, ἐφ' ᾧ τοὺς ἄλλους παρῶ, καὶ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους. Οἱ δὲ ἀπαντῶσι τὸν Σολομῶντα ἐν ἐκείνοις ὡς ἐκ προσώπου τῶν ἀσεβούντων ἀποφθέγγεσθαι, οἷον Γρηγόριος ὁ Διάλογος, καὶ ἄλλοι. Οἱ δὲ ταῦτα διεξέρχεσθαι τὸν προφήτην, ὡς παρ' ἑαυτοῦ μὲν εἰρημένα, ἡνίκα ταῖς αὔραις ἦν ῥιπιζόμενος τῆς νεότητος.

Πρὸς δὲ τὸ ἐκ τοῦ Παύλου ληφθὲν ἀπαντῶμεν σὺν τῷ Χρυσορρήμονι, ὡς ἐπεὶ μάλα καλῶς ᾔδει Παῦλος, μηδενὶ τὸ βραβεῖον τῆς μακαριότητος, ὑπὲρ ὧν ὑπέστη καμάτων καὶ πόνων, εἰμὴ μετὰ τὴν ἀνάστασιν τῶν σωμάτων ἀπονέμεσθαι, τούτου χάριν, εἰ μὴ ἀνάστασις ἐστὶ φησὶ νεκρῶν, εἰμὴ ἥκει ὁ καιρὸς ἐκεῖνος ὁ τῆς ἀντιδόσεως, τὶ ἡμῖν τὸ ὄφελος; Τὴν οὖν ἔνστασιν ἐκείνην ἐπιλύειν ἔργον παισὶ Λατίνων, τοῖς καὶ πρὸ τῆς ἀναστάσεως, οὐκ οἶδ' ὅπως, οὐδ' ὅθεν, τὰς ψυχὰς μακαρίζειν φιλοτιμουμένοις, ἡμῖν δ' οὐδέν. Ἀλλ' ἐπεὶ τὸν ἄνθρωπον ὅλον τὸν ἐκ ψυχῆς συνεστηκότα καὶ σώματος, οἷα δὴ κατὰ τὸ συναμφότερον ἀθλήσαντα, τοῖς αἰωνίοις ἐκείνοις καὶ ἀκηράτοις ἀγαθοῖς ἀμεῖψαι Θεὸς προέθετο, εἰκὸς καὶ Παῦλον, καὶ τοὺς κατ' ἐκεῖνον τὴν ἐξανάστασιν τῶν σωμάτων περιμένειν, ἅτε δὴ τῷ συναμφοτέρῳ τῆς μακαριότητος ἀπολαύσοντας. Ἐὰν οὖν ἡ ἀνάστασις οὐκ ἐλπίζεται, τὶ τὸ ὄφελος; Διαπυνθομένοις δὲ τοῖς περὶ Σοκῖνον, τὶ ὅτι μόνη ἡ ψυχὴ, εἴπερ ἀθάνατος, οὐκ ἐμφορεῖται τῶν ἀγαθῶν, παραμελουμένου τοῦ σώματος, δίκαιον πολὺν ἐπιχέειν τὸν γέλωτα. Ἀφροσύνης γὰρ ὑπερβολῇ συνέχεται πᾶς, ὅστις νῦν γινώσκειν κυρίου θρασύνεται, καὶ σύμβουλος αὐτῷ οἱονεὶ παρεδρεύειν τολμητιῶν, τοῖς ἀτεκμάρτοις ἐκείνου κρίμασιν ἐμβατεύειν πειρᾶται.

## Προτ. Ιϛ'.

„Αἱ διανοήσεις ἐνέργειαι εἰσὶ τῶν ἐμμόνων, καὶ οὐχὶ τῶν μεταβατικῶν.

## Δεῖξις.

Εἰσὶ γὰρ πρὸς ζωὴν τῇ ψυχῇ ἐπανήκουσαι (Πρ. ΙΒ′.). Ζωὴ δὲ πᾶσα ἐν ἐνεργείᾳ ἀδιαλείπτῳ ἐξ ἀρχῆς ζωτικῆς ἐμφύτου τῷ πράγματι ἐκπηγαζούσῃ (ὁρ. ί.) ἔχει τὸ εἶναι. Ἔμφυτοι ἄρα εἰσὶ τῇ ψυχῇ, ϗ οὐσιώδεις ἄρα αὐτῇ. Τὰ δὲ ἔμφυτα τῷ ὄντι, ϗ οὐσιώδη, οὐκ ἔστι μεταβατικά. Ἄρα αἱ διανοήσεις, κτ:. Καταγέλαστος δ᾽ ἂν εἴη ὁ μὴ ἐμφύτους τῇ ψυχῇ τὰς διανοήσεις τιθέμενος, ἀλλ᾽ ἀπὸ ψυχῆς εἰς ψυχήν, ἢ γοῦν ἀπὸ τῆς ψυχῆς ἐπὶ τὸ σῶμα μεταβαινούσας οἰόμενος. Ἐπεὶ ἄρα τὸ τοιοῦτο ϗ ἐκ τῆς φύσεως τῆς ψυχῆς ἕπεται, ϗ κοινῇ ψήφῳ ὑπὸ πάντων τῶν φιλοσοφούντων πρεσβεύεται, ἡμῖν τοῖς ἐξ ὧν ἔχομεν ἰδεῶν φιλοσοφοῦσιν (αἴτ Α′.) θετέον ὡς ἀξίωμα. Τοὐναντίον δὲ οὐδ᾽ αὐτὸς Ὠβζέστιος εἴποι ἄν. Ἐπειδὴ γὰρ ἐκείνῳ συμβολή τις σωματικὴ τυγχάνει διανόησις πᾶσα, τελεῖται δὲ αὕτη ἔκ τινος τῶν καθ᾽ ἕκαστα, ὑπό τινος τῶν ἐκτὸς ἐνεργείας, καὶ ἐξ ἰδίας ἀντενεργήσεως, οὐκ ἂν ἄλλοθι οὐδαμοῦ εἴη αὕτη, ὅτι μὴ ἔνθα τελεῖται. Οὐδ᾽ ἡ αὐτὴ μία τὸν ἀριθμὸν συμβολὴ ἀπὸ ὑποκειμένου εἰς ὑποκείμενον μεταβαίη. Τῆς δὲ διδασκαλίας δὴ ταύτης ἥκιστα ἀπάδουσι, ϗ ὅσοις ἡ ψυχὴ δύναμις μέν ἐστιν ἀσώματος, διὰ παντὸς δὲ τοῦ σώματος διακεχυμένη, ϗ τῆς τούτου συστάσεώς τε ϗ κράσεως ἀπηρτημένη. Καὶ γάρ τοι ϗ κατ᾽ αὐτοὺς δὴ τούτους αἱ διανοήσεις διαθέσεις τυγχάνουσι τῶν καθ᾽ ἕκαστα, ἐν μὲν τῷ ὀργανικῷ σώματι ἐνιζάνουσαι, ἐκείνου δὲ διεζευγμέναι μηδόλως νοούμεναι.

## Πρότ. ΙΖ′.

„Ἡ ἀνθρωπίνη ψυχὴ οὐκ ἔστι μία ϗ ἡ αὐτὴ τὸν ἀριθμὸν ἐπὶ πάντων „ἀνθρώπων.

## Δεῖξις.

Ἡ ἀνθρωπίνη ψυχὴ οὐσία τυγχάνει ἀσώματος (Πρ. ΙΓ′.), ἧς ἔμμονοι αἱ ἐνέργειαι ϗ οὐσιώδεις (Πρ. Ιϛ′.). Εἰ γοῦν μία ϗ ἡ αὐτὴ ἐν ἅπασιν, μία ϗ ἡ αὐτῆς διανοητικὴ δύναμις, ϗ ἡ αὐτὴ ἔσται ἐν ἅπασιν. Ἔνθεν τοι ϗ αἱ αὐταὶ ἐν ἅπασι διανοήσεις, ϗ τῶν διανοήσεων τάξις ἡ αὐτή, ϗ ἀριθμός, ϗ ἐνάργεια, ἢ ἀσάφεια, ϗ τάχος ἢ βραδύτης. Τὸ δὲ οὕτως οὐκ ἔχει οὐδὲ ἐπὶ τῶν αὐτῶν δήθεν πραγμάτων. Οὐκ ἄρα ἡ ἀνθρωπίνη ψυχὴ μία τε κτ:.

Παρὰ ταῦτα ϗ ὅπερ Ἀριστοτέλης παρέδωκε, ϗ πάντες οἱ μετ᾽ αὐτὸν ἀπεδέξαντο, τὸν νοῦν γίνεσθαί πως πάντα τὰ νοητά, ἤτοι τὰς νοε-



ΕΚΑ της Κ.Ε. ΙΩΑΝΝΙΝΑ 2006